24 (25 Md.) Demetr. Eloc. 301

*καὶ ὥσπερ τὸ διαλελυμένον σχῆμα δεινότητα ποιεῖ, ὡς προλέλεκται, οὕτω ποιήσει ἡ διαλελυμένη ὅλως σύνθεσις. σημεῖον δὲ καὶ τὸ Ἱππώνακτος. λοιδορῆσαι γὰρ βουλόμενος τοὺς ἐχθροὺς ἔθραυσεν τὸ μέτρον καὶ ἐποίησεν χωλὸν ἀντὶ εὐθέος καὶ ἄρυθμον, τουτέστι δεινότητι πρέπον καὶ λοιδορίᾳ· τὸ γὰρ ἔρρυθμον καὶ εὐήκοον ἐγκωμίοις ἂν πρέποι μᾶλλον ἢ ψόγοις.*

25 (40 Md.) Sulpicia, Sat. (= Epigr. Bob. *37) 1–6

*Musa, quibus numeris heroas et arma frequentas,*
*fabellam permitte mihi detexere paucis:*
*nam tibi secessi, tecum penetrale retractans*
*consilium. quare neque carmine curro Phalaeco*
*nec trimetro iambo nec qui pede fractus eodem*
*fortiter irasci discit duce Clazomenio.*

26 Hephaest. 5 (*Π. ἰαμβικοῦ*), 4 p. 17, 1–3 Consbr.

*ἔστιν ἐπίσημον ἐν τοῖς ἀκαταλήκτοις καὶ τὸ χωλὸν καλούμενον, ὅπερ τινὲς μὲν Ἱππώνακτος, τινὲς δὲ Ἀνανίου εὕρημά φασι.*

26a Tricha, Lib. de novem metris 1 (*Π. ἰαμβικοῦ*) p. 370, 10s Consbr.

*τὸ δὲ χωλὸν σπονδείῳ ἢ τροχαίῳ, ὅ τινες μὲν Ἀνανίου φασὶν εὕρημα, τινὲς δὲ Ἱππώνακτος.*

27 (43 Md.) Clem. Alex. Strom. 1, 79, 1 (2, 51, 8–11 Stählin)

*ναὶ μὴν ἴαμβον μὲν ἐπενόησεν Ἀρχίλοχος ὁ Πάριος, χωλὸν δὲ ἴαμβον Ἱππῶναξ ὁ Ἐφέσιος, καὶ τραγῳδίαν μὲν Θέσπις ὁ Ἀθηναῖος, κωμῳδίαν δὲ Σουσαρίων ὁ Ἰκαριεύς.*